σπωμένως γάρ. τυπȣ. ϗ πλὴν τȣ., ἐλθὲ, εὑρὲ, ἰδὲ, εἰπὲ, λαβέ.

### Τόνος Μετοχῆς.

§. Φοβʹ. Μετοχὴ δὲ, τῇ μὲν ἀρσενικῇ τȣ Ἐνεστῶτος, ϗ Μέλλοντος, ϗ Ἀορίσȣ πρώτȣ τῶν εἰς ω ἐνεργητικῶν, ἐπὶ τῆς αὐτῆς ὁ τόνος τῷ ἀρχικῷ ῥήματι. τύπτω, ὁ τύπτων, ὁ τύψων, ὁ τύψας. Πλὴν τριῶν, ἴω, κίω, ἔω. τȣ́των γὰρ αἱ Μετοχαὶ ὀξυτονȣ͂νται. ἰὼν, κιὼν, ἐὼν,

§. Φογʹ. Τῇ δὲ τȣ Παρακειμένȣ, ϗ δευτέρȣ Ἀορίσȣ, ἐπὶ τῆς ἐσχάτης. τετυφὼς, τυπών. Αἵγε μὴν εἰς μενος, πασαι προπαροξυνονται. Πλὴν τȣ Παρακειμένȣ. παροξυτόνως γάρ. ὁ τετυμμένος.

### Τονος Ἀντωνυμίας.

§ Φοδʹ. Ἀντωνυμιῶν δὲ τῶν Πρωτοτύπων, ὀξύνεται μὲν ἡ Ἑνικὴ Εὐθεια, ϗ ἡ Δοτικὴ, ϗ Αἰτιατικὴ ὁμοίως· ἡ δὲ Γενικὴ περισπαται. ἐμȣ͂, σȣ͂. Ἐπὶ δὲ τοῦ τρίτȣ προσώπȣ ἔτι ϗ ἡ Δοτικὴ περισπᾶται ȣ͂, οἷ. Αἱ δὲ Πληθυντικαὶ περισπωνται πασαι, πλὴν τῆς τȣ τρίτȣ Δοτικῆς. σφίσι

§ Φοέ. Χρὴ δ᾽ ἄρα ἐπὶ τȣ πρώτȣ προσώπȣ τὸ ἐντελὲς ἐννοεῖν ὡς τὸ ε ἀρκτικὸν ἀποβάλλȣσα Φωνὴν, ἐγκλίνεται, ὧδε. ἤκȣσάς μȣ, ἔδωκάς μοι, εὔφρανάς με.

### Περὶ Ἐγκλινομένων.

§. Φοϛʹ. Καθόλȣ γάρ τοι τὰ ἐγκλινόμενα ἀποβαλλοντα τὸν ἑαυτῶν τόνον, ἐφέλκεται ὑπὸ τοῦ κατὰ τὴν ἡγȣμένην λέξιν, εἴτε μονοσύλλαβα εἴη, εἴτε δισύλλαβα. τὸ δὲ καί μοί τις, ȣ δισύλλαβον ἓν, ἀλλὰ